Ἀρχῆς καλῆς κάλλιστον εἶναι καὶ τέλος,
Ὀρθῶς δοκοῦσιν οἱ ὅροι τῶν πραγμάτων.
Ἀρχὴ καλὸν πέφυκε τοῖς βροτοῖς πέρας,
Βίου κάθαρσις ἐνθέως ἀσκουμένη.
Λόγοις πτερωθεὶς, μὴ πέτευ ἔξω πέρυ. Al. πέτα.
Πτερῶν γὰρ οὐδὲ πλείων ἵπτατ(αι) δίχα.
Γνῶσις βροτοῖς μέγιστον ἐν βίῳ κλέος. Al. βροτοῖς
Κακὸν δὲ αὕτη τοῖς κακῶς κεχρημένοις. Al. ταύτῃ.
Κενή σε δόξα μηδόλως συναρπάσῃ,
Καὶ γὰρ πανοῦργον τοῦτο τοῖς ἁπλουστέροις.
Εὖ δρῶν, φύλαττε σαυτὸν ἐν τούτῳ μένειν,
Ταχὺς γάρ ἐστι πρὸς τὸ χεῖρον ὁ δρόμος.
Γέλως κρατείσθω, καὶ θυμὸς λάβοι πέρας,
Ἀργὸς δὲ παντάπασιν εἰργέσθω λόγος.
Θεὸν φοβοῦ πρόπιστα, καὶ γονεῖς τίμα·
Ἱερεῖς ἐπαίνει, πρεσβύτας σεπτῶς ἔχε. Al. ἱρεῖς
Υἱὸν δίκαια πατρὶ μηδόλως λέγειν,
Θεσμὸς θ᾽ ὁρίζει, καὶ πρὸ θεσμοῦ ἡ φύσις.
Οἵας πρὸς ἄλλου μὴ παθεῖν ὅλως θέλεις
Τοιαῦτα καὶ σὺ μηδὲ δρᾶν ἄλλῳ θέλε.
Οὐ δεινὸν ὀργὴ δεινὰ τοῖς εἰργασμένοις
Καὶ γὰρ δικάζει τοῖς ὁμοίοις ἡ δίκη. Al. τοὺς ὁμοίους